UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXV. De prohibitione sacrificiorum & initiationum, & de abolitis gladiatoribus & impuris Sacerdotibus Nili.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

τῶν εἴσω τῆς ἐκκλησίας, ἐγὼ δὲ τῶν ἐκτὸς ὑπὸ Θεοῦ καθεσταμένος, Ἐπίσκοπος ἂν εἴην. ἀκόλουθα δ' οὖν τῷ λόγῳ διανοούμενος, τοὺς ἀρχομένους ἅπαντας ἐπεσκόπει, προὔτρεπέ τε ὅσηπερ ἂν ἡ δύναμις τὸν εὐσεβῆ μεταδιώκειν βίον.

A fiam funt, Epifcopi eftis. Ego verò in iis quæ extra geruntur, Epifcopus à Deo fum conftitutus. Itaq; confilia capiens dictis congruentia, omnes Imperio fuo fubjectos Epifcopali follicitudine gubernabat; & quibufcumque modis poterat, ut veram pietatem confectarentur, incitabat.

## ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὅτι περὶ κωλύσεως θυσιῶν καὶ τελετῶν καὶ μονομαχιῶν, καὶ τῶν πρὶν ἀκολάστων τοῦ Νείλου.

Ἔνθεν εἰκότως ἐπαλλήλοις τε νόμοις καὶ διατάξεσι τοῖς πᾶσι διεκελεύετο, μὴ θύειν εἰδώλοις, μὴ μαντεῖα περιεργάζεσθαι, μὴ ξοάνων ἐγέρσεις ποιεῖσθαι, μὴ τελετὰς κρυφίους ἐκτελεῖν, μὴ μονομάχων μιαιφονίαις μολύνειν τὰς πόλεις. τοῖς δὲ καὶ Αἴγυπτον αὐτήν τε τὴν Ἀλεξάνδρειαν, τὸν παρ' αὐτοῖς ποταμὸν δι' ἀνδρῶν ἐκτεθηλυμμένων θεραπεύειν ἔθος ἔχουσι, νόμος ἄλλος κατεπέμπετο, πᾶν τὸ τῶν ἀνδρογύνων γένος ὥσπερ τι κίβδηλον, ἀφανὲς γίνεσθαι τοῦ βίου. μὴ δ' ἐξεῖναί ποι ὁρᾶσθαι τοὺς τὴν ἀσέλγειαν ταύτην νενοσηκότας. ἐπεὶ δ' ὑπέλαβον οἱ δεισιδαίμονες μηκέτι τὸν ποταμὸν ῥεύσειν αὐτοῖς συνήθως, πᾶν τοὐναντίον ἢ προσεδόκησαν Θεὸς τῷ βασιλέως συμπράττων νόμῳ κατειργάζετο· οἱ μὲν γὰρ οὐκ ἔτι ἦσαν, οἱ τῇ σφῶν βδελυρίᾳ τὰς πόλεις μιαίνοντες. ὁ δ' ὡσανεὶ καθαρθείσης αὐτῷ τῆς χώρας, ἐφέρετο οἷος οὐδέ ποτε. ἀνέβαινέ τε πλουσίῳ τῷ ῥεύματι, πάσας ἐπικλύζων τὰς ἀρούρας. ἔργῳ παιδεύων τοὺς ἄφρονας, μιαροὺς μὲν ἐκτρέπεσθαι δεῖν ἄνδρας. μόνῳ δὲ τῷ παντὸς ἀγαθοῦ δοτῆρι, τὴν τῶν καλῶν ἀνατιθέναι αἰτίαν.

## Caput XXV.

*De prohibitione facrificiorum & initiationum, & de abolitis gladiatoribus & impuris Sacerdotibus Nili.*

Hinc eft quòd crebris legib⁹ & conftitutionibus interdixit omnibus, B ne fimulacris facrificarent; ne vates curiosè confulerent; neve fimulacra erigerent; aut arcana facra peragerent; poftremò ne cruentis gladiatorum fpectaculis urbes contaminarent. Cúmque Ægyptii & Alexandrini fluvium fuum minifterio quorundam hominum effeminatorum colere confuevifsent, lex quoque ad eos data eft, ut omnis Androgynorum natio tanquam adulterina, è medio tolleretur; nec ufquam confpicerentur ii qui hujufmodi impudicitiæ morbo laboraffent. Sed quoniam fuperftitiofi homines exiftima- C bant, Nilum pofthac more folito agros fuos minimè irrigaturum, Imperatoris legi favens Deus, contrarium prorfus quàm fperaverant præftitit. Nam illi quidem qui urbes obfcœnitate fua polluebant, effe defierunt. Ipfe autem fluvius, quafi expiata purgatáque ipfi tota regione, uberior quàm unquam antea affluxit, & largiore aquarum copia exundans, agros omnes irrigavit: ftultos homines reipfa docens atque admonens, impuros quidem averfari oportere; foli autem Deo omnium bonorum Auctori, profperos cafus effe ad- D fcribendos.

## ΚΕΦΑΛΑΙΟΝ Κϛ'.

Νόμου τοῦ κατὰ ἀτέκνων ὄντος διόρθωσις, ἔτι δὲ καὶ τοῦ περὶ διαθηκῶν, ὁμοίως διόρθωσις.

Ἀλλὰ γὰρ μυρία τοιαῦτα βασιλεῖ πεπραγμένα ἐφ' ἑκάστης ἐπαρχίας, πλείστη γένοιτ' ἂν ῥᾳστώνη τοῖς γράφειν αὐτὰ φιλοτιμουμένοις· ὥσπερ οὖν καὶ νόμους οὓς ἐκ παλαιῶν ἐπὶ τὸ ὁσιώτερον μεταβάλλων ἀνενεοῦτο· καὶ τούτων δ' ἐν ὀλίγῳ ῥᾷον ἐκφῆναι τὸν τρόπον. τῆς ἀπαιδίας παλαιοὶ νόμοι στερήσει τῆς τῶν γονίμων διαδοχῆς ἐτιμωροῦντο. ὁ δ' ἦν οὕτω κατὰ τῶν ἀτέκνων ἀπηνὴς νόμων, ὡσανεὶ πεπλημ-

## Caput XXVI.

*Correctio legis adverfus orbos, & legis de teftamentis.*

Verùm enimverò cùm hujufmodi res penè innumerabiles in fingulis provinciis ab Imperatore geftæ fint, quicumq; eas curiofius fcribere aggreffi fuerint, ampliffimam certè materiã habituri funt. Cujufmodi eft quòd plurimas leges ad majorem fanctitatẽ traducens, pro antiquis novas fecit. Atq; hujus rei forma uno aut altero exemplo declarari poteft. Orbos antiquæ leges hæreditatis patrum ademptione plecte-



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN